UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Maximi Tyrii philosophumena

### Maximus

### Lipsiae, 1910

XXVIII

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2966

Visual Library

## *ΚΗ'*

## XXVIII (Duebn. XXXIV vulg. 18)

κη' *Πῶς ἄν τις ἄλυπος εἴη.*

Ia *Πῶς ἄν τις ἀλυπίαν τῇ ψυχῇ περιποιήσαιτο; ἢ δεῖ κἀνταῦθα ἰατροῦ, καθάπερ ἐν ταῖς τοῦ σώματος ὀδύναις, καὶ πρὸς τῷ ἰατρῷ φαρμάκων τινῶν, καὶ διαίτης*
b *κεκραμένης πρὸς ὑγίειαν καλῶς; Τίς οὖν ὑμῖν γένοιτο ψυχῆς ἰατρός; καὶ ποῖα τὰ φάρμακα; καὶ πρὸ τῆς διαίτης αὐτὸς τρόπος; Ἐγὼ μὲν ὑπὸ φιλίας πρὸς τὰ ἀρχαῖα πάντα οὐ διαιρῶ τὰς τέχνας, πείθομαι δὲ τοῖς ποιηταῖς, ὅτι ἦν ἐν Πηλίῳ ἀνὴρ ἰατρικός· Χείρωνα αὐτὸν καλοῦσιν, ἡ δὲ τέχνη τῷ Χείρωνι ἦν τείνουσα*
c *ἐφ' ἑκάτερα· καὶ γὰρ τὸ σῶμα ἐξεπόνει τῶν προσιόντων αὐτῷ εἰς τὸ ἀκρότατον τοῦ ὑγιεινοῦ θήραις καὶ ὀρειβασίαις καὶ δρόμοις καὶ εὐναῖς ἐπὶ στιβάδων καὶ*
d *σιτίοις ἐξ ἄγρας καὶ πώμασιν ἐκ ναμάτων· καὶ τὴν*

---

**11** *Χείρωνα* scil. *ἰατρικῆς εὑρέτην* cf. Plut. quaest. conv. 3.1.3 Aristid. or. 7.7 b ‖ **14. 15** *θήραις . . ὀρειβασίαις . . δρόμοις* vi. or. 23.2 d *καὶ ἐν θήραις* sq. etiam or. 17.2 b ‖ **16.** p. 333.1 *τὴν ψυχὴν* sq. scil. *παιδαγωγὸς ὢν ἡρώων* inprimis Achillis cf. Dio Chrys.

---

Codices RMNα (= Stephanus) φ (= Paccius); IDCW (teste Schenkl); H (teste Davisio)

---

**11** in mge *χείρων* (schol. recent.) R!

---

**1** *ΚΗ'* R! ‖ **3** in mge *κη'* R! *ΙΗ'* M | *πῶς — εἴη* RN add. *λόγος ιη'* φα add. numero *λδ'* C *τοῦ αὐτοῦ πῶς* sq. M ‖ **4. 5** *κἀνταῦθα δεῖ* C ‖ **5** *ἰατροῦ* (*ου* in ras.) R! ‖ **7** *τίς* ⟨*ἂν*⟩ *οὖν* Markl. (Duebn.) | *ὑμῖν* RMID (man. alt.) *ὁ μὲν* N *ἡμῖν* cett. (δΔ) ‖ **8** *πρὸ τῆς*] *ποῖος τῆς* φα(δΔ) *πρὸς τῆς* Dav.² *προ*⟨*σέτι*⟩ *τῆς* Schenkl ‖ **9** *αὐτὸς*] *αὐτῆς* φα(δΔ) *αὖ τις* (*τίς*) Dav.² (Schenkl) | ⟨*ὁ*⟩ *τρόπος* C Dav.² | ⟨*τῆς*⟩ *φιλίας* DC ‖ **11** *πελίῳ* DC ‖ **12** *τῷ* (ante *Χείρωνι*) nescio unde om. ϑ ‖ **15** *ὀριβασίαις* IDN ‖ **16** *πώμασιν* RIDMN (suprascr. *ο*) *πόμασιν* cett. (δΔ°)

*ψυχὴν ἐπεμελεῖτο μηδὲν ἀπολείπεσθαι τῶν σωμάτων
εὐκινησίᾳ λογισμῶν καὶ τῷ ἀνδρώδει τῶν παθημάτων·
καὶ διὰ τοῦτο ἄρα ἰατρικώτατός τε καὶ δικαιότατος
ὁμοῦ ἔδοξεν εἶναι ὁ αὐτός, δύο ὀνόματα τέχνῃ μιᾷ
ἐπιφημισάντων τῶν ποιητῶν. Εἰ δὲ ἐν τῷ παρόντι* e
118b *διέστη<κεν καὶ διεστα>σίασται πρὸς | ἑαυτὴν ἡ τέχνη,
μήπω σοι τοῦτο θαυμαστὸν φανῇ, πρὶν ἄν μοι δείξῃς
καὶ τὴν τέχνην ‖ μίαν τε οὖσαν καὶ ἠθροισμένην,* Ed. Duebn. p. 135
*ἀλλ' οὐ διαλαχοῦσαν τοῦ σώματος τὰ χωρία, ἄλλην ἄλλό
τι, τὴν μὲν ὀφθαλμούς, τὴν δὲ νῶτα, τὴν δὲ ἄλλό τι
μόριον, καὶ κινδυνεύουσαν, κατασμικρυνομένην ἑκά-
στοτε εἰς λεπτὰ καὶ ἀγεννῆ μόρια, ἀφανισθῆναι παντά-
πασι· καθάπερ τὴν Μακεδόνων φασὶν ἀρχὴν ἐμπε-* f
*σοῦσαν εἰς ἄνδρας πολλούς, οὐκ ἀξιουμένους βασιλείας
ὅλης, μετὰ τὸν Ἀλέξανδρον.*

*Τί δὴ οὖν ὁ Χείρων ἦλθεν ἡμῖν δεῦρο ἐπὶ τὸν* IIa
*λόγον; Φέρε, ἴδω μετὰ σοῦ, εἰ μὴ ἐν δέοντι, εἴπερ* b
*γάρ μοι καλεῖς τι ὀδύνην σώματος· καλεῖς μέντοι.
Ταύτης τοίνυν, εἰ μὲν ἐξ ἴσου τὸ σῶμα ὑποδύσαιτ'*

---

58. 573 Lucian. dial. mort. 15. 1 Aelian. v. hist. 12. 25 nat. anim. 2. 18 Plat. republ. 3. 391 c. Hipp. min. 371 d Xenoph. conv. 8. 23
**3** *δικαιότατος* ex Homero (*Λ* 832 *δικαιότατος Κενταύρων*) cf. Orph. Argon. 380 ‖ **6** *διέστησεν καὶ διεστασίασται* ut or. 26. 2 h ‖ **7** *μήπω . . φανῇ, πρὶν ἄν μοι δείξῃς* sq. ut or. 30. 4 b; 40. 3 g ‖ **8** *μίαν . . οὖσαν* sq. vi. or. 39. 2 c etiam or. 14. 8 g; 18. 8 a; 20. 3 b ‖ **16** *τί δὴ οὖν* sq. ut or. 10. 3 d al. ‖ **19** *εἰ μὲν ἐξ ἴσου* sq. cf. Ioh. Chrys. I 32 Simplic. in Epict. man. 86

---

**4** *μιᾷ* om. W ‖ **6** *διέστη<κεν καὶ διεστα>σίασται* (ut or. 26. 2 h) Hob. *διεστησιαντε* RWI (pr. man.) *διεστασίασται* CH (Duebn.) *διεστησέ τε* MNID (man. alt.) *διέστησέ γε* α(θ) *διέστηκε* Reiske (Duk.) *διέστησεν αὐτὴ* Markl. ‖ **9** *διαμαχοῦσαν* W ‖ **10** *νῶτα*] *ὦτα* D (pr. man.) φ Markl. (Duebn). ‖ **11** *καὶ ἐπικινδυνεύουσαν* C ‖ **14** *πολλούς, <καὶ> οὐκ* C | *ἠξιωμένους* Markl. ‖ **17** *λόγον <φέρων> φέρε* Reiske | *εἴδω* RN ‖ **19** *ταύτης*] *αὕτη* I (man. alt.) φ α(δ Δ) *τούτων* Schenkl | *εἰ μὲν*] *ἡ μὲν* Schenkl | *ὑποδύσαιτ' ἂν*] *ὑπεδύσατο* Meiser

ἄν, καὶ ἀνακραθεῖσα ἐπιεικῶς ὅλῳ διετάραξεν αὐτοῦ
τὴν κατὰ φύσιν οὐσίαν, καθάπερ σίδηρον πῦρ, αὐτὸ
τοῦτο, ὃ καλοῦμεν πῦρ· ὑποκοριζόμενοι δ' οἱ ἰατρικοὶ
μετέβαλλον τοὔνομα, ὡς ἔλαττον ἡμῖν τὸ δεινὸν φα-
c νούμενον, εἰ πυρετὸς καλοῖτο, ἀλλὰ μὴ πῦρ. Ἕτερον
δ' αὖ ἐστιν ὀδύνης γένος, ἐπειδὰν μόριον μὲν ᾖ τὸ
τὴν αἰτίαν ἔχον καὶ τὴν πηγὴν τοῦ νοσήματος, ὁρμη-
θὲν δὲ ἐντεῦθεν τὸ δεινὸν συνελκύσῃ τε καὶ συν-
d επισπάσηται τῇ ὀδύνῃ καὶ τὸ ἄλλο σῶμα πᾶν· καὶ
ἔστιν οὕτω δή τις ὀξύτατος ὁ τοῦ ἀλγεῖν δρόμος ἐπὶ
τὸ ὑγιαῖνον ἀπὸ τοῦ κάμνοντος, ὡς μάθοις ἂν τῷ
προσπταίσματι ἄκρῳ τῷ ποδί· ἐκ γὰρ ὀνύχων, φασίν,
ἐπὶ τὴν κεφαλὴν τὸ ἀλγεινὸν ἀκαρεὶ θεῖ. Τοῦτο δὲ
οἴει γίγνεσθαι ἄν, εἰ μὴ ἐτύγχανεν ἡ ψυχὴ διειληφυῖα
τὸ σῶμα πᾶν πάντοθεν, καὶ ἀνακεκραμένη αὐτῷ, κα-
e θάπερ τὸ φῶς τῷ ἀέρι; ἢ μᾶλλον οὑτωσὶ λέγωμεν·
καθάπερ αἱ τῶν θυμιαμάτων ὀδμαὶ καὶ τοῖς πόρρω
οὖσιν προσέβαλλον, ἀνακεράσασαι | τὸν διὰ μέσου ἀέρα 119a

---

3 ὑποκοριζόμενοι sq. cf. Varro sat. p. 102. 4 (Riese) 'apellamus . . a fervore febrim' ‖ 5 ἕτερον sq. cf. Plat. republ. V 462 c ὅταν που ἡμῶν δάκτυλός του πληγῇ, πᾶσα ἡ κοινωνία ἡ κατὰ τὸ σῶμα πρὸς τὴν ψυχὴν τεταμένη . . πᾶσα ἅμα ξυνήλγησε μέρους πονήσαντος ὅλη ‖ 15 ἀνακεκραμένη sq. vi. or. 7. 1 e εἰ δ' ἀμφοῖν sq.

---

12 ἐκ γὰρ ὀνύχων — 13 θεῖ n ‖ 14 ἡ ψυχὴ — p. 335. 3 φύσει p

---

1 διαταράξειεν Reiske ‖ 3 ὃ καλοῦμεν] ἐκαλοῦμεν Dav.[2] (Duebn.) καλοῖμεν Markl. ἐκαλοῦμεν ἂν Reiske ὃ del. Meiser ‖ 4 μετέβαλλον R!IMN μετέβαλον cett. (δΔ) ‖ 6 μὲν] ἓν Markl. ‖ 8 συνελκύσηται C et ita Wakefield (silv. crit. III 53) ‖ 8. 9 συνεπισπάσητε CN ‖ 9 σῶμα] μέρος (in mge corr.) D ‖ 12 γὰρ ⟨τῶν⟩ ὀνύχων C ‖ 13 ἀκαρεὶ RMn ἀκαρεῖ IDN ἀκαρῆ CW ἐν ἀκαρεῖ α(δΔ) ‖ 14 διείληφε p ‖ 15 ἀνακέκραται p ‖ 16 μᾶλλον οὑτωσὶ λέγωμεν om. p ‖ 17 ὀσμαὶ W ‖ 18 προσέβαλον CWα(δΔ)

*τῇ εὐωδίᾳ· ἢ καθάπερ τὰ χρώματα ἐν ὀφθαλμοῖς πόρρωθεν ἔρχεται ὡς ἐπιγράψαντα καὶ ταῦτα τὸν ἀέρα τῇ αὑτῶν φύσει· ταύτῃ νόμιζε καὶ τὴν ψυχὴν πανταχοῦ διεληλυθέναι, καὶ μηδὲν εἶναι ἄψυχον σώματος μέρος· τρίχας δὲ καὶ ὄνυχας ἐξαιρετέον λόγου· καὶ γὰρ* f *τῶν δένδρων τὰ φύλλα· καὶ γὰρ ταῦτά ἐστιν, ὅσα ἐν φυτοῖς τὰ ἀναισθητότατα. Οὕτω δὴ πρὸς τὸ σῶμα ἡ* g *ψυχὴ ἔχουσα, ἀνακέκραται αὐτοῦ ταῖς λύπαις καὶ ταῖς ἡδοναῖς. Καὶ τὸ ἀλγεῖν ἔστιν αἰτία μὲν σώματος, ψυχῇ δὲ πάθος. Μία μὲν δὴ αὕτη χορηγία ὀδύνης* h *τῷ ἀνθρώπῳ. Δευτέρα δὲ ἥδε, ἔμπαλιν αὖθις αὖ πρὸς τὴν προτέραν ἔχουσα· ἀπὸ γὰρ τῆς ψυχῆς αὕτη* i *ἔρχεται, καὶ τελευτᾷ ἐπὶ τὸ σῶμα. Ψυχῆς γοῦν καμούσης λύπῃ, συγκάμνει τοι σῶμα τὶ καὶ ὑποτήκεται τοῦτο μὲν ἐκ τῶν ὀφθαλμῶν ἀπολεῖβον δάκρυα, τοῦτο δὲ πᾶν ὠχραινόμενον καὶ ἰσχναινόμενον· ὁποῖα αἵ ἐξ*

---

**5** *ἐξαιρετέον λόγου* ut Plat. symp. 176 *Σωκράτη δ' ἐξαιρῶ λόγου* ‖ **7** *ἀναισθητότατα* sq. cf. Plut. de gen. Socr. 589 a *ὀστᾶ γὰρ ἀναίσθητα καὶ νεῦρα* sq. ‖ **8** *ἀνακέκραται* sq. vi. or. 10. 3 e et 9 b cf. Plat. Tim. 64 d ‖ **10** *ψυχῇ δὲ πάθος* nam *συναλγεῖ τῷ σώματι ψυχὴ* cf. Plat. Axioch. 366 b vi. etiam or. 41. 3 o ‖ **13** *ψυχῆς .. καμούσης* sq. cf. Nemes. de nat. Hom. 2 p. 33 *συμπάσχει ἡ ψυχὴ τῷ σώματι νοσοῦντι καὶ τεμνομένῳ καὶ τὸ σῶμα τῇ ψυχῇ* (Cleanthis) ‖ **15** *ἀπολεῖβον δάκρυα* scil. propter amorem vi. or. 20. 5 c *μεστὸς δακρύων* ‖ **16** *ὠχραινόμενον* vi. or. 20. 5 b *ὁ χλωρός*

---

**13** *ψυχῆς γοῦν* — p. 336. 1 *ἀπεργάζονται* n

---

**16** in mge *ὠχραινόμενον* (schol. vet. a) R!

---

**1** *εὐωδίᾳ καθάπερ* (suprascr. *ἢ*) R! | *ἐν*] *τὰ ἐν* Reiske ‖ **3** *αὐτῶν* IMNp | *ταύτῃ* (e *ταύτην* corr.) R! *ταῦτα* C ‖ **5** *ἐξαιρετέον λόγου* Hob. *ἐξ ἑτέρου λόγου* codd. (recte?) *ἐξαίρω λόγου* H (alt. man.) *Δ°* *ἐξαιρῶ λόγου* Duebn. ‖ **5. 6** *καὶ γὰρ τῶν*] *ὡς καὶ τῶν* I (man. alt.) *φα(δΔ)* *καθάπερ τῶν* Markl. ‖ **6** *φῦλλα* R! ‖ **7. 8** *ἡ ψυχὴ ἔχουσα πρὸς τὸ σῶμα* C ‖ **10** *ψυχῆς* *φα(δΔ)* ‖ **11** *ἧδε* R! ‖ **13** *γοῦν*] *οὖν* DN *νῦν* n ‖ **13. 14** *καμνούσης* C ‖ **14** *τοι σῶμα τὶ* (i. e. profecto *συγκάμνει σῶμα* aliquatenus) Hob. *τῷ σώματι* RMND *τὸ σῶμα* cett. (*δΔ*) *τὸ σῶμά τι* Schenkl

ἐρώτων λῦπαι ἀπεργάζονται, καὶ διὰ πενίαν τρυχώσεις, καὶ διὰ πένθη ἀκοιμιστίαι. Ἀποπέμπουσιν δὲ τῷ σώματι ὀδύνας καὶ θυμοὶ καὶ ὀργαὶ καὶ φθόνοι, καὶ τῶν τῆς ψυχῆς παρὰ μέλος κινημάτων οὐδὲν ὁτιοῦν.

IIIa Τί δή οὖν τούτων ἐπιμέμνημαι; Ὅτι τὸ ἀλγεῖν καὶ ἀπὸ ψυχῆς σώματι ἐπιπεμπόμενον, καὶ ἀπὸ σώματος ἐπὶ ψυχὴν παραγινόμενον, εἰκότως ἄρα δέοιτο ἂν καὶ ἰατρικῆς μιᾶς πρὸς ἀλυπίαν, καθάπερ ὁ Εὔριππος κυβερνητικῆς μιᾶς πρὸς εὔπλοιαν. Καὶ τοῦτο μὲν
b Ed. Duebn. p. 136 ταῦτά ‖ μοι ἔστω ἀποπεφασμένον· τὴν δὲ ἰατρικὴν αὐτήν, ἥτις ἀμυνεῖται τὰ δεινὰ ἀμφοτέρωθεν ἐπιόντα, τίς ἡμῖν λέξει; Ἐγὼ μὲν γὰρ ἀπορῶ, εἴ τινα ἐξευρήσω δεινὸν τὴν τέχνην κατὰ τὸν Χείρωνα κεῖνον, ἵνα μοι διπλᾶ | τἀγαθὰ ἔλθῃ· καὶ οὔτε πιστεύω τῷ τεχνιτεύ- 119b
ματι (τὸ γὰρ ἔργον μέγα, τῆς Ὄσσης καὶ τοῦ Ὀλύμπου ὑψηλότερον), οὔτε ἀπιστῷ κομιδῇ. Τί γὰρ οὐκ ἂν ἐθελήσασα πάντολμος ψυχὴ ἐπιτεχνήσαιτο;

IVa Διὰ μέσου δὴ ἥκων πίστεως καὶ ἀπιστίας, καὶ πρὸς ἄγνοιαν τοῦ εἰδέναι τῇδέ μοι δοκῶ διαιτήσειν τὴν

---

8 ἰατρικῆς sq. unde similitudinem ducit or. 10. 3 f | ὁ Εὔριππος sq. vi. or. 5. 6 b ‖ **15. 16** Ὄσσης .. Ὀλύμπου ὑψηλότερον vi. or. **12. 1** d καὶ ὤνησεν sq.

---

**1** λῦπαι RW λύπαι cett. (δΔ) | (et 2) καὶ ⟨αἱ⟩ διὰ Reiske (Duebn.) χαὶ διὰ Schenkl ‖ **2** ἀκοιμιστίαι („insomniae" ut ἀκοίμιστος pro ἀκοίμητος Diod. II 616. 48) Hob. ἀκομιστίαι (ἀκομηστίαι C) codd. (δΔ) ‖ **4** ὁτιοῦν οὐ I (man. sec.) ὅτι οὐ Dav.² (Duebn.) ὁτιοῦ Reiske ‖ **5** δὲ οὖν MN(Δ°) οὖν δὴ C | τούτων om. α(δ) corr. Markl. ‖ **8** καθάπερ R! WDI καθὰ cett. (δΔ) | Εὔριππος RNα! (-ρίπ-) Εὔριπος cett. (δΔ) ‖ **9** μιᾶς κυβερνητικῆς C ‖ **10** ταύτη CI ταύτῃ Markl. (Duk. Duebn.) ἐνταῦθα Reiske sed τοῦτο μὲν ... δὲ ut or. 1. 1 b τὰ μὲν ... δὲ al. ‖ **13** ⟨ταύτην⟩ δεινὸν Reiske | τὴν τέχνην δεινὸν C | ἐκεῖνον NI (man. alt.) α(δΔ) sed cf. Crönert 131 adn. 2 ‖ **14** τὰ ἀγαθὰ CMNα(δΔ°) ‖ **14. 15** τεχνητεύματι Dα(δ) ‖ **17** ⟨ἡ⟩ πάντολμος ς(δΔ°) ‖ **18** δὴ] δὲ C | καὶ (ante πρὸς) del. Markl. καὶ ὡς πρὸς Reiske ‖ **19** ἄγνοιαν] ἄνοιαν D ἀγωνίαν M

στάσιν. Ὑποπτεύω τοι μίαν μὲν εἶναι τὴν τέχνην, μὴ
μέντοι δυοῖν, ψυχῆς καὶ σώματος, ἀλλὰ τῇ πραγματείᾳ
τοῦ κρείττονος τὴν τοῦ ἑτέρου ἐλάττωσιν ἐξιωμένην.
Ὑπῆλθεν γάρ με λέγοντα ὁμοῦ τὸ τοῦ Σωκράτους b
πρὸς τὸν Χαρμίδην, οὐκ αὐτὸ ἐκεῖνο, ἡ Θρᾴκιος ἐπῳδή,
ἀλλὰ ἀντιστρόφως. Ὁ μὲν γὰρ φησὶν σὺν τῷ ὅλῳ c
ἰᾶσθαι καὶ τὸ μέρος, καὶ ἀδύνατον εἶναι σωτηρίαν
παραγίνεσθαι τῷ μορίῳ, πρὶν καὶ τῷ παντὶ ἔλθῃ·
ὀρθῶς λέγων, κἀγὼ πείθομαι, ὅσα γε ἐπὶ σώματος·
ἐν δὲ τῇ ψυχῆς καὶ σώματος συζυγίᾳ ἀντιστρόφως d
φημὶ ἔχειν· ᾧ γὰρ ἂν τὸ μέρος καλῶς ἔχῃ, ἀνάγκη τὸ
πᾶν τούτῳ ἔχειν καλῶς, οὐχ ὁποτερονοῦν τοῖν μερ-
οῖν, θάτερον δέ· ἡ γὰρ τοῦ χείρονος πρὸς τὸ κρεῖτ-
τον ὁμιλία ἐκ τῆς τοῦ κρείττονος σωτηρίας ἀνάπτει τὸ
χεῖρον· ἦ σοι δοκεῖ ἄνθρωπος ὑγιαίνων τῇ ψυχῇ λόγον e
τινὰ ποιεῖσθαι προσπεσούσης ὀδύνης καὶ τραυμάτων
ἤ τινος ἄλλης κακουχίας σωμάτων; οὐδαμῶς μὰ Δία.
Ἐκείνην δὴ τὴν ἰατρικὴν μαστευτέον καὶ βασανιστέον, f

---

**2.3** *τῇ πραγματείᾳ τοῦ κρείττονος* sq. cf. Apoll. Tyan. ep. 23 *ψυχῆς ἐπιμελητέον μετὰ σώματος ἢ τὸ ζῷον οὐκ ἂν ὑγιαίνοι τῷ κρείττονι νοσοῦν* etiam Diog. ep. 49 (Herch. 258) Diog. Laert. VI 83 Dio Chrys. 78. 44 ‖ **5** *ἡ Θρᾴκιος ἐπῳδή* e Plat. Charm. 157c ‖ **7.8** *σωτηρίαν . . τῷ παντὶ* vi. or. 5.4f ‖ **15** *ἄνθρωπος ὑγιαίνων τῇ ψυχῇ* sq. vi. or. 7. 4 k ‖ **18** *βασανιστέον* ut or. 18. 4 a

---

**11** *ᾧ γὰρ ἂν* — **12** *καλῶς* n

---

**18** in mge *σημείωσαι τὸ μαστευτέον καὶ βασανιστέον* (schol. recentiss.) R!

---

**4** *μοι λέγοντι* (in mge) N | *ὁμοῦ καὶ τὸ* MN α(δ Δ°) ‖ **5** *Χαρμήδην* RDI | *ἐκεῖνο-ἡ* R! | *Θρᾳκὸς* Meiser ‖ **7** *καὶ τὸ μέρος ἰᾶσθαι* C | *εἶναι τὴν σωτηρίαν* C ‖ **8** ⟨*καὶ*⟩ *τῷ μορίῳ* C | *πρὶν ἂν καὶ* C ‖ **10** *ἐν*] *ἓν* (corr. in mge) D | *τῇ ψυχῇ* RHC *τῆς ψυχῆς* MN *τῇ τῆς ψυχῆς* cett. (δ) | *συζυγίᾳ* (*ζυ* in ras.) R! ‖ **11** *ἔχει* DI *ἐπέχοι* n ‖ **12** *ὁπότερον οὖν* R ‖ **12.13** *μεροῖν* ⟨*μὲν*⟩, *θάτερον* Reiske ‖ **13** *δέ· ἡ*] *δὲ* ⟨*οὐ*⟩*· ἡ* Reiske ‖ **15** *ἤ* RMN φα(δ) *ἦ* cett. (Δ°) ‖ **16** *καὶ* (ante *τραυμάτων*)] *ἐκ* Markl. (Duebn.) ‖ **17** *σώματος* φα(δ)

καὶ ἐκείνην τὴν ὑγίειαν ποριστέον καὶ ἐκθηρατέον, ἣ τάχα μὲν καὶ περὶ τουτὶ τὸ σῶμα ῥᾳστώνη ἕψεται, εἰ δὲ μή, πάντως γε ἡ ὑπεροψία τῶν ἐν αὐτῷ δεινῶν. |

## ΚΘ′ 120 a

## XXIX (Duebn. XXXV vulg. 19)

κθ′ *Τί τέλος φιλοσοφίας.*

Ia Ὁ μὲν Κροτωνιάτης ἐρᾷ κοτίνου Ὀλυμπικῆς, ὁ δὲ Ἀθηναῖος νίκης τριηρικῆς, ὁ δὲ Σπαρτιάτης ὁπλιτικῆς, ὁ Κρητικὸς θήρας, ὁ Συβαρίτης χλιδῆς, ὁ Θηβαῖος αὐλῶν, ὁ Ἴων χορῶν· καὶ ἔτι δ' αὖ ὁ μὲν χρηματιστὴς χρυσοῦ, ὁ δὲ φίλοινος μέθης, ὁ δὲ μουσικὸς ἔρωτος,
b ὁ δὲ φιλῳδὸς μελῶν, ὁ δὲ ῥήτωρ λόγων· τουτὶ δὲ τὸ θρέμμα, ὃν καλοῦσιν οἱ ἄνθρωποι φιλόσοφον, πότερα ἀνέραστος ἡμῖν ἐστιν πάντων χρημάτων; Ἠλιθίου ἂν

1 ὑγίειαν scil. ἀρετὴν nam valetudo corporis virtus, aegritudo malitia cf. Plat. republ. IV 444 d ‖ 3 ἡ ὑπεροψία sq. scil. ἡ ἀπάθεια illa stoica cf. Epict. diss. III 22. 40 sq. IV 1. 76 sq. al. ‖ 7 sq. in universum vi. or. 17. 2 a sq. | Κροτωνιάτης scil. ἀθλητής nam Κροτωνιατῶν ἔσχατος τῶν ἄλλων Ἑλλήνων πρῶτος Eustath. ad Dionys. Per. 369 | Ὀλυμπικῆς vi. or. 1. 4 a; 34. 8 c ‖ 9 Κρητικὸς θήρας vi or. 17. 2 b | Συβαρίτης χλιδῆς = or. 21. 5 d vi. etiam or. 14. 2 b; 30. 5 f; 32. 3 b ‖ 9 10 Θηβαῖος αὐλῶν vi. or. 17. 2 b ‖ 11 μουσικὸς scil. vir (vel amator) probus qualis vel Socrates (vi. or. 19. 2 f) vel Anacreon (vi. or. 20. 1 e)

2 καὶ ⟨ἡ⟩ περὶ C | τουτὶ om. C

Codices RMNα (= Stephanus) φ (= Paccius); H (teste Davisio)

7 ὁ μὲν — 10 χορῶν n | ὁ μὲν — 12 λόγων p

4 (et 6 in mge) ΚΘ′ (κθ′) R! ‖ 6 τί τέλος φιλοσοφίας RN add. λόγος ιθ′ φα τοῦ αὐτοῦ τί sq. M ‖ 8 δὲ om. p ‖ 9 σιβαρίτης MN ‖ 11 μουσικὸς] φιλήδονος Meiser ‖ 12 φιλῳδὸς pφα(δΔ) φείδωλὸς (i. e. ΦΕΙΛΩΔΟϹ) R! φειδωλὸς MN | ὁ δὲ ῥήτωρ λόγων om. φ ‖ 13 πότερον nescio unde Δ ‖ 14 ἀνέραστον Dav.[2] | ἢ λίθου Scaliger (Δ)